214

# Ἀκάμας Πείρωος.

109 (56) Εἰς Πείρωον ἢ Ἀκάμαντας. — Ανθολ. Cougny εκδ. Didot Τ. Β΄ κεφ. Θ΄ σ. 107

Πεμπόμενοι Θρήικης Ἀκάμας, Πείροος ἥρως
ἕδραν ναίοντες τήνδ' ἔλαχον φθίμενοι. ..

# Πείροος.

212

Αὐτὰρ Θρήικας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως, ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει. Ἰλιαδ. Β. 844

Ἐφόνευσε τὸν Διώρεα υἱὸν τοῦ Ἀμαρυγκέως. Λεξ. Βλάχου

Ἔνθ' Ἀμαρυγκείδην Διώρεα μοῖρ' ἐπέδησε. Ἰλιαδ. Δ. 517.
χερμαδίῳ γὰρ βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· βάλε δὲ Θρῃκῶν ἀγὸς ἀνδρῶν,
Πείροος Ἰμβρασίδης, ὃς ἄρ' Αἰνόθεν εἰληλούθει.
ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίησεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας,
θυμὸν ἀποπνείων· ὁ δ' ἐπέδραμεν ὅς ῥ' ἔβαλέν περ,
Πείροος· οὖτα δὲ δουρὶ παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι
χύντο χαμαὶ χολάδες, τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Τὸν δὲ Θόας Αἰτωλὸς ἀπεσσύμενον βάλε δουρὶ
στέρνον ὑπὲρ μαζοῖο, πάγη δ' ἐν πνεύμονι χαλκός.
ἀγχίμολον δέ οἱ ἦλθε Θόας, ἐκ δ' ὄβριμον ἔγχος
ἐσπάσατο στέρνοιο, ἐρύσσατο δὲ ξίφος ὀξύ,
τῷ ὅ γε γαστέρα τύψε μέσην, ἐκ δ' αἴνυτο θυμόν.
τεύχεα δ' οὐκ ἀπέδυσε· περίστησαν γὰρ ἑταῖροι
Θρήικες ἀκρόκομοι, δολίχ' ἔγχεα ἐν χερσὶν ἔχοντες,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυόν,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη·
ὣς τώ γ᾽ ἐν κονίῃσι παρ᾽ ἀλλήλοισι τετάσθην,
ἤτοι ὁ μὲν Θρῃκῶν, ὁ δ᾽ Ἐπειῶν χαλκοχιτώνων,
ἡγεμόνες· πολλοὶ δὲ περὶ κτείνοντο καὶ ἄλλοι »